[redacted]

Μάρκου Μουσούρου τοῦ Κρητός.

Ἔκ ποθ᾽ ἑνὸς ἀφράστοιο φανεὶς φύγαδ᾽ ἔτραπεν ἄφνω
Αἰετὸς οἰωνῶν ὑψιπέτης ἀγέλην.
Τεθρίππων ἐπιβὰς, σέλας ἢ μάλ᾽ ἔδυσεν ὁ μαίμων
Ἥλιος. ἢ ἄστρων φρουδὸν ἔθηκε φάος.
Τὼς δὲ χαρακτήρων ἀπεχάσατο τῶνδε τὰ πρόσθεν
Γράμματα καὶ ῥίνης ἔκγονα καὶ δονάκων.
Θηεῦμαι γλυφάνης πῶς τις σμίλης ποτ᾽ ἀΐδεω
Ξέσατ᾽ ἀριπλέκτων ὄρχατον ὧδε τύπων.
Πῶς δὲ μεταξὺ τόνοις γραμμῶν στήριξεν ἀπλοῦς
Ἰθυτάτων. φθόγγοις πάντας ἐπικρεμάσας
Ἀλλὰ τί θαυμαίνω Κρητῶν φρένας; οἷς ποτ᾽ ἐφετμαῖς
Πάρος, Ἀθηναίη δαίδαλα πολλὰ δάεν.
Κρὴς γὰρ ὁ γλύψας. τὰ δὲ χαλκία Κρὴς ὁ συνείρας
Κρὴς ὁ καθ᾽ ἓν στίξας. Κρὴς ὁ μολυβδοχύτης.
Κρὴς δαπάνα νίκης ὁ φερώνυμος. αὐτὸς ὁ κλείων
Κρὴς τάδε. Κρησὶν ὁ Κρὴς ἤπιος αἰγίοχος.
Τοὶ γὰρ ἀμευχόμεθα. πέλοι γενετῆρα χορηγοῦ
Μὴ δίχα μνημοσύνης οὔνομα παιδὶ θέμεν.
Νικῶσ᾽ ἀντιπάλοις. νεῦσε Ζεύς. οἱ γὰρ ἀφ᾽ Ἴρης
Ἔμαθον, ἑλλάνων παισὶ πρέποισι τύποι.

Ἰωάννου Γρηγοροπούλου τοῦ Κρητός.

Ἄνθεα γραμματικῆς δρέψαι ποθέων ξένε, τάνδε
Λάζευ ἀφειδήσας βύβλον ἐπωφέλιμον.
Τὰν, πᾶσ᾽ οὐκ ἀλέγων δαπάνης προὔθηκεν ἑτοίμην
Νικόλεως ὁ Κρής, Βλαστὸς ἐπωνυμίην.